TEZAUR LITURGIC

26 IULIE

ANTONIOS MARKOU

EGKOMIA

SF.CUVIOASE-MUCENIȚE

PARASCHEVA

DE LA ROMA



ATENA,2020


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

Ἐγκώμια
Ἁγίας Ὁσιοπαρθενομάρτυρος ΠΑΡΑΣΚΕΥΗΣ τῆς Ῥωμαίας

Ποίημα Ἀντώνιος Μάρκου

ΣΤΑΣΙΣ ΠΡΩΤΗ.

Ἦχος πλ. α΄. Ἡ ζωὴ ἐν τάφῳ.

Πάντες συγκαλοῦνται* Ὀρθοδόξων χοροί,*
συγχορεῦσαι καί ἐν ὕμνοις τιμήσειεν,*
ἀθληφόρον τοῦ Χριστοῦ Παρασκευήν.

Ἀνυμνείσθω Ἀγάθων,* Πολιτεία σεμνή,*
ὅτι δῶρον αὐτοῖς ἐδόθης οὐράνιον,*
εἰς ἀπάντησιν αὐτῶν τῶν προσευχῶν

Ῥώμης οὖσα γόνος,*
οὐρανίας Σιών* τήν πατρίδα ἐς ἀεί τε τήν μένουσαν* ἐκληρώσω δι᾽ ἀγώνων εὐαγῶν.

Ἀντωνίνου Πίου,* μᾶλλον δέ δυσεβούς,*
συνετρίβησαν δεινά μηχανεύματα*
ἐν τῆς πίστεως τῇ πέτρα τῆς Χριστοῦ.

Σώματος τό κάλλος*
καί μορφῆς καλλονή,* τῷ Κυρίῳ προσεφέρθησαν θύματα,* ἐκ νεάνιδος παρθένου καί ἁγνῆς.

Κάρᾳ Σῇ ἐπετέθη* στέμμα ἀστέκτου πυρός* καί συνέτριψε τήν κάρα ν τοῦ δράκοντος,*
τοῦ τήν Εὔαν παγιδεύσαντος Ἐδέμ.

Ἔρεβος εἰδώλων* πεφανέρωται νῦν,*
ὅτε μῆνις θηριώδης ὡς δαίμονος*
τῆς νεάνιδος κατέκοψεν μαστούς.

Ὑπέρ ἄνδρα, Κόρη,* φρόνημα Σόν στερρόν,*
τοῦ τυρράνου τήν ὀφρύν ἐταπείνωσεν,*
τῇ δυνάμει τοῦ Νυμφίου Σου Χριστοῦ.

Ἤμβλυνας, Τρισμάκαρ,* τά τοῦ Ἀσκληπιοῦ,* ἐν σταδίῳ ἀδεῶς φληναφλήματα,* τήν Τριάδα παραστήσασα σαφῶς.

Στόμα οὐκ ἰσχύει* περιγράψε πιστῶς,*
τήν σκληρότητα τήν τοῦ μαρτυρίου Σου,* δι' οὗ ἔκτεινας τόν πάγκοινον ἐχθρόν.

Τῶν πιστῶν ὁ δῆμος,* Ἱερέων πλυθύς,*
εὐφημοῦντες νῦν Ὁσίαν τήν ἔνδοξον,* τῷ Κυρίῳ ἀναπέμπωμεν εὐχάς.

Ἀνατείλας, Μάρτυς,* ὥσπερ ἄστρον λαμπρόν,* ταῖς ἀκτῖσι ἐξαισίων θαυμάτων Σου,* κατεφώτισας τά πλήθη τῶν πιστῶν.

Θείαν Σέ προστάτην,* πολιοῦχον στερρόν,*
Ἀχαρνῶν ἡ πόλις, Μῆτερ, νῦν κέκτηται,* ἥν περίσωζε σεισμοῦ τῆς ἀπειλῆς.

Λίαν ἀπτοήτως,* ὡμολόγεις σαφῶς,* ὦ ἀμνάς γενναιοτάτη, ἐνώπιον* Ταρασίου τόν Χριστόν εἶναι Θεόν.

Ἡ ἁγνὴ ψυχή Σου,* καθαρὰ ὡς χιών,* εἰς οὐράνιον παστάδα φαιδρύνεται* καί Χριστὸν ὑπὲρ ἡμῶν ἐκδυσωπεῖ.

Ὕμνους Σοί ἐν πίστει,* ἡδυφθόγγους ᾠδάς,* ἀναπέμπωμεν, Παρθένε, τῇ μνήμῃ Σου,* τόν Θεό ν εὐχαριστοῦντες ἐκ ψυχῆς.

Φρίττει τῶν ἀνθρώπων* καί Ἀγγέλων πλυθύς,* ἐν τῇ θέᾳ, Μῆτερ, τοῦ μαρτυρίου Σου,* δι᾽ οὗ ἔλυσας Βελίαρ τήν ἰσχύν.

Ὅρασις Ἀγγέλου* τὰς ὀδύνας εὐθὺς,* τῆς Παρθένου τὰς πολλὰς ἐπεκούφισε* καὶ τό σῶμα αὐτῆς διέθηκε καλῶς.

Ῥῦσαι ἀπό πάσης* προσβολῆς τούς τήν Σήν* πρό ς Θεόν καθικεσίαν προβάλοντας,*
ὥσπερ τεῖχος τε καί πύργον ὀχυρόν.

Δόξα. Τριαδικόν.

Ὅρμησον Σούς δούλους,* Παναγία Τριάς,* εἰς λιμένα γαληνόν,
πρεσβευούσης νῦν* τῆς Μητρός ἡμῶν σεπτῆς Παρασκευῆς.

Καὶ νῦν. Θεοτοκίον.

Ὑπέρ ἡμῶν μή παύεις* ἱκετεύειν, Ἁγνή* Θεοτόκε, τόν Υἱόν Σου καί Κύριον,* σύν τῇ Μάρτυρι Αὐτοῦ Παρασκευῇ.

Καὶ πάλιν τό πρῶτον.

Πάντες συγκαλοῦνται* Ὀρθοδόξων χοροί*, συγχορεῦσαι καί ἐν ὕμνοις τιμήσειεν*, ἀθληφόρον τοῦ Χριστοῦ Παρασκευήν.

ΣΤΑΣΙΣ ΔΕΥΤΕΡΑ

Ἦχος πλ. α΄. Ἄξιον ἐστι.

Τεῖχος ἀρραγὲς,* Σέ κεκτήμενοι καί προστασίαν,* διά Σοῦ Κυρίῳ προσφεύγομεν* καί αἰτούμεθα ψυχῶν τόν φωτισμόν.

Ἵθυνον ἡμᾶς* ἱκεσίαις Σου, τιμία Μάρτυς,* ὁδόν τήν τοῦ Κυρίου πορεύεσθαι·* Σὲ γὰρ ἔχομεν ἐν ταύτῃ ὁδηγόν.

Μάρτυς ἀληθῶς* Σύ Ὁσία τε εἰ καί Παρθένος,* ὅτι τὸν Χριστὸν ἐπεπόθησας* ὑπεράνω τῶν ῥεόντων καὶ φθαρτῶν.

Ἤστραψας φαιδρῶς* στερεώματι τῆς Ἐκκλησίας,* ὡς πυρσὸς, Μάρτυς Χριστοῦ, φωταυγέστατος,* καταυγάζων διανοίας τῶν πιστῶν.

Κόσμου τὰ τερπνά,* ὥσπερ σκύβαλα ἡγήσω, Μάρτυς,* καὶ πωλήσασα τά πάντα ἠγόρασας* Μαργαρίτην τὸν πολύτιμον,* Σοφή.

Ἅπαντες πιστοί* ἀνυμνήσωμεν ᾄσμασι θείοις* μνήμην τήν ἐτήσιον Μάρτυρος,* ἵνα σχῶμεν ταῦτην πρέσβειραν Θεῷ.

Ἵνα, ἀδελφοί,* ἀπολάβωμεν κακῶν τήν λύσιν,* δεῦτε ἑορτάσωμεν σήμερον* τῆς Παρθένου τῆς σε πτῆς τήν ἑορτήν.

Ἆρον ὀφθαλμούς* καί ἁγίας ὕψωσόν Σου χεῖρας* πρὸς Χριστὸν τὸν Σὲ στεφανώσαντα* καὶ δυσώπησον Αὐτὸν ὑπέρ ἡμῶν.

Ἱκέτευε θερμῶς* σύν Ἀγγέλοις καί Ἁγίοις, Μάρτυς,* ὑπέρ ἡμῶν τῶν πίστει ὑμνούντων Σε,* σωτηρίαν ἐπομβρίζουσαν ἡμῖν.

Νέος τῷ φωτί* πανυπέρλαμπρος ἀστὴρ τυγχάνεις,* Σιών τῷ νοητῷ στερεώματι* καταυγάζων τάς καρδίας τῶν πιστῶν.

Ἐλέησον, Σεμνή,* καὶ εἰρήνευσον, Μάρτυς, τὸν σάλον* πειρασμῶν, κινδύνων καὶ θλίψεων,* εὐπροσδέκτοις Σου πρὸς Κύριον εὐχαῖς.

Σημεῖοις θαυμαστοῖς* καὶ ἀρρήτου εὐωδίας, Μάρτυς,* ἐδόξασε Χριστός τῶν λειψάνων Σου* τὴν πολυτίμον καί πάντιμον σορόν.

Ἵνα τῶν παθῶν* ἀπολαύσωμεν ἐλευθερίας,* τῇ Σῇ νῦν καταφεύγομεν λάρνακι* καὶ λαμβάνομεν ἰάσεις ἀφειδῶς.

Σὺ ἀπὸ παιδὸς* τῷ Κυρίῳ ἀφιερωθεῖσα,* ὥσπερ Σαμουὴλ ἐκ νεότητος* ἐδοξάσθης ὑπ᾽ Αὐτοῦ ὑπερφυῶς.

Ἅπαντες πιστοὶ* προσενέγκωμεν τῇ Ἀθληφόρῳ* Χριστοῦ, ἀπὸ καρδίας τὰ ᾄσματα,* τὰ παλαίσματα κηρύττοντες αὐτῆς.

Διάλυσον, Σεμνή,* τὰ ζιζάνια τῆς ἀσεβείας,* τὰς τε αἱρέσεις ἀφάνισον,* ταῖς πρεσβείαις καὶ εὐχαῖς Σου πρὸς Θεόν.

Εὐχαῖς Σου ταῖς σεπταῖς* καθοδήγησον πρός σωτηρίαν* μοναζούσας κόρας Σου, Πάνσεμνε,* καὶ εὐλόγησον αὐτὰς Σῇ δεξιᾷ.

Δόξα. Τριαδικόν.

Ἅγιε Θεέ,* τρισυπόστατε Τριὰς Ἁγία,* ταῖς τῆς Ἀθληφόρου δεήσεσι* Σὴν εἰρήνην ἐπιβράβευσον ἡμῖν.

Καὶ νῦν. Θεοτοκίον.

Ἵνα τοῦ πυρός* τῆς κολάσεως φύγωμεν, Κόρη,* μὴ ἐλλείπῃς τῷ Υἱῷ Σου πρεσβεύουσα,* ὅπως ῥύσηται ἡμᾶς ἐκ τῶν παθῶν.

Καὶ πάλιν τὸ πρῶτον.

Τείχος ἀῤῥαγὲς* Σὲ κεκτήμενοι καὶ προστασίαν,* διά Σοῦ Κυρίῳ προσφεύγομεν* καὶ αἰτούμεθα ψυ χῶν τὸν ἱλασμόν.

ΣΤΑΣΙΣ ΤΡΙΤΗ.

Ἦχος γ΄. Αἱ γενεαὶ πᾶσαι.

Ὕμνους ἱκετῶν Σου,* Κόρη μὴ ἐπιλάθου*, Παρασκευὴ τρισμάκαρ.

Πνεύματος Ἁγίου* δοχεῖον ἀνεδείχθης,* σεπτὴ Ὁσιομάρτυς.

Ὁσιωτάτη Μῆτερ,* σκέπε ἡμᾶς λιταῖς Σου* ἐκ πάσης ἐπηρείας.

Ἀπέλαβες τὴν νίκην* κατὰ ματαίου κόσμου,* διὸ καὶ ἐδοξάσθης.

Ναοῦ Σου ἁγιωτάτου* τὸν κτίτορα τιμῶμεν,* Ἱερώνυμον τὸν Κρῆτα.

Τύπον τῆς μορφῆς Σου* εἰκόνα προσκυνοῦμεν* τὴν Σὴν, Θαυματοφόρε.

Ὦ τῆς παῤῥησίας* τῆς Σῆς πρὸς τὸν Δεσπότην,* δι’ ἧς ἡμᾶς στηρίζεις.

Νίκην κατὰ τοῦ σκότους* δώει ταῖς εὐχαῖς Σου* ἡμῖν τοῖς δεομένοις.

Ἰάσεων ἡ χάρις,* Παρασκευὴ ἐδόθη,* ἐν Σοὶ ποικιλοτρόπως.

Ὀφθαλμούς νοός τε* καὶ σώματος, Θεόφρων,* τῆρει μακράν τοῦ σκότους.

Ὑπέρ ἡμῶν ἁγία* Παρασκευὴ τὸν Πλάστην* ἱκέτευε ἀπαύστως.

Τιμήν τήν ἡμετέραν* προσδέχου καὶ τῷ Κτίστῃ* δεήθητι, Ὁσία.

Ὀφθαλμῶν τάς νόσους,* παντοίας τε κακώσεις,* Παρασκευὴ ἰᾶσαι.

Ὑπὲρ ἡμῶν δυσώπει* τῶν Σέ τά νῦν τιμῶντων,* Κυρίου ἀθληφόρε.

Τὸν ἄρχοντα τοῦ σκότους* καθεῖλες θεαρέστως,* Σταυροῦ τῇ σημειώσει.

Ἀνθήσας ὥσπερ ἄνθος* ἐν ταῖς αὐλαῖς Κυρίου* ἡμᾶς εὐωδιάζεις.

Λαός ὁ τοῦ Κυρίου,* Κλῆρος τῆς Ἐκκλησίας,* τά μῦρά Σοι προσφέρει.

Ἄνθεσι
ποικίλοις* στέφωμεν τήν θήκην* τῶν Σῶν σεπτῶν Λειψάνων.

Νεάνιδαίς Σοι κόραι* Κυρίῳ ἀνατεθῆσαι* μῦρά Σοι προσκομίζουν.

Δόξα. Τριαδικόν.

Ὅρμησον ἐν λιμένι,*
Τριάς ὦ Παναγία,* ἡμᾶς τοῦ οὐρανίου·

Καί νῦν. Θεοτοκίον.

σεμνῆς Ἀειπαρθένου* τῇ θείᾳ μεσιτείᾳ*,
Παρασκευῆς ὁμοῦ τε.

Καί πάλιν τό πρῶτον.

Ὕμνους ἱκετῶν Σου,* Κόρη, μή ἐπιλάθου,*
Παρασκευή τρισμάκαρ.

ΕΥΛΟΓΗΤΑΡΙΑ

Ἦχος πλ. α΄. Μέλος ἀργόν.

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με, Σήν Μάρτυρα ὑμνῆσαι.

Τῶν Ἀγγέλων τά πλήθη* καὶ ἀνθρώπων χορεῖαι*
κατεπλάγησαν ἅμα*
καθορῶσαι Παρθένου* καί Ὁσίας τήν λῆξιν·*
αὕτη γάρ Θεόν ἐκ ψυχῆς ἀγαπήσασα,*
δι’Αὐτόν προθύμως τό αἷμα ἐξέχεε.

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με, Σήν Μάρτυρα ὑμνῆσαι.

Ἀρωμάτων φιάλη* Σοῦ ἡ θήκη ὁρᾶται* τῶν τιμίων λειψάνων,* ἀποπνέουσα τερπνὴν* οὐρανοῦ εὐωδίαν,* ἥτις τῶν πιστῶν εὐφραίνει τὸ πλήρωμα* καὶ ἀποδιώκει δαιμόνων φάλαγγας.

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με, Σήν Μάρτυρα ὑμνῆσαι.

Μυροθήκη λειψάνου* Παρασκευῆς προσιῶντες* θεραπείας ἀπαντλοῦμεν·* ἀναδέδεικται γάρ* πηγὴ τῶν θαυμάτων·* μὴ οὖν ὡς νεκράν τήν ζώσαν νομίσωμεν,* ἐνεργεῖ γάρ ὁσημέραι τά θαυμάσια.

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με, Σήν Μάρτυρα ὑμνῆσαι.

Τὴν Σὴν ποίμνην μή παύεις* σκέπειν, Μῆτερ Ὁσία,* τήν εἰς Σέ ἀναθεμένην* μετά Θεόν τήν ἐλπίδα·* πάσαν προσβολήν τοῦ Βελίαρ κατάργησον* καί ε ὐλόγει, Μῆτερ, καί φρούρει πάντοτε.

Δόξα. Τριαδικόν.

Προσκυνήσωμεν πάντες* οἱ πιστοὶ κατὰ χρέος* τὴν Ἁγίαν Τριάδα,* σὺν Υἱῷ τὸν Πατέρα* καὶ τὸ Πνεῦμα τὸ θεῖον* καὶ ἀγγελικῶς τὸν ὕμνον βοήσωμεν·* Ἅγιος, Ἅγιος, Ἅγιος εἶ Κύριε.

Καὶ νῦν. Θεοτοκίον.

Ἀειπάρθενε Κόρη,* Θεοτόκε Μαρία,* τὸν Υἱόν καὶ Θεόν Σου* καθικέτευε, Μῆτερ,* Παρασκευῆς τῇ πρεσβείᾳ,* ῥύσασθαι ἡμᾶς κινδύνων καὶ θλίψεων* καὶ δοθῆναι πᾶσι ἡμῖν συγχώρησιν.

Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα, δόξα Σοι ὁ Θεός [ἐκ γ΄].

Στίχοι ἱκετευτικοί:

Δέχου τόν πτωχόν, πτωχοῦ ἱκέτου, λόγου,

Ὁσία σεμνή, ἡμερώνυμε τοῦ Πάθους·

καί δίδου αὐτῷ τήν λύσιν τῶν πταισμάτων,

πρεσβείαις ταῖς Σαῖς, παντλήμονος Ἀντωνίου.


A
P
Ω